τὴν γνῶσιν, ϗ τἀναντίον· ςήσεται γὰρ δηλονότι μὴ κεκινημένα τὰ πράγματα. Εἶτα ϗ τούτους διαπυνθανόμεθα, πότερον ἄρα τὰ πορρωτέρω ἐκεῖνα αἴτια κάμπτει τὴν ἐλευθερίαν μεσιτεύοντι τῷ λόγῳ, ἢ νῦν ἀμέσως; Οὐδεὶς ἂν φαίη τὸ δεύτερον, οὐδὲ γὰρ λόγος ἡμῖν περὶ τῶν ἐνεργειῶν, ἐν αἷς ὁ λόγος οὐδαμῶς ἐφίςαται. Εἰ δὲ τὸ πρῶτον, ἔσονται ἄρα κινητικὰ ἐκεῖνα τῆς ἐλευθερίας, αἴτια δὲ οὐδαμῶς βίαν αὐτῇ ϗ ἀνάγκην ἐπάγοντα. Ἐφ᾽ ὅσον γὰρ τὰ διορίζοντα τὴν ἐλευθερίαν παρὰ τῷ λόγῳ κεῖται, μενεῖ δήπουθεν ἡ τοῦ ἀνθρώπου ἐλευθερία ἀπαραλύμαντος, ὡς δέδεικται. Τὸ δὲ τῶν ἀςρολογούντων χρῆμα, τοῖς μὲν παρὰ τοῦ χύδην ὄχλου ἰσχύσειε τυχὸν πειθώ τινα ἐνιέναι, καίτοι οὐδὲ τούτων τοῖς ἐμβριθεςέροις τὴν σύνεσιν ϗ τὰς φρένας ὑγιεςέροις, ἀνδράσι δὲ φιλοσόφοις καταγέλαςα τὰ ἐκείνων ληρήματα, οὐχ ὅτι καί τινα ἀνὴρ συνέσει διαφέρων, ὀξύς τε ϗ ἰδεῖν ὢν ϗ νοῆσαι εἰκασίαις εὐλόγοις χρησάμενος, οὐκ ἄν ποτε προϊδὼν ἐσόμενα οἷος ᾖ ϗ προαποφήνασθαι, ἀλλ᾽ ὅτι ὕθλος ϗ λῆρος ἐςίν, ἃ ἐπαγγέλλονται ἐκ τῆς τῶν ἀςέρων θέσεως αὐτοῖς προγινώσκεσθαι. Ἀρκέσειε δ᾽ ἂν πρὸς τούτοις ἓν τοῦτο εἰπεῖν, ὅτι τοῖς ἄλλοις ὁδηγοὶ περὶ τῶν μελλόντων γινόμενοι, αὐτοὶ περὶ τὰ ἑαυτῶν ἀλόγως πάνυ προσκόπτουσι.

## ΚΕΦΑΛ. Ε΄.

## Περὶ Κλίσεων, ϗ Ἕξεων, ϗ περὶ Μνήμης.

### Πρότ. ΜΔ΄.

„Αἱ ἐπὶ τὸ ἀγαθὸν ϗ ἀληθὲς κλίσεις ἐν γένει ἔμφυτοι εἰσὶ τῷ „ἀνθρώπῳ, ϗ δὴ ϗ τῆς ἀνθρωπίνης φύσεως μηχανικοὶ νόμοι, οἷς τισιν ἐκείνη „ἐπὶ τὰ αὐτῇ προσήκοντα τέλη κινεῖται.

### Δεῖξις.

Αἱ ἅπασι ϗ κατὰ πᾶσαν ἡλικίαν ἀνθρώπων κλίσεις προσοῦσαι, αἱ οὐδ᾽ ἐπίτασιν, οὔθ᾽ ὕφεσιν ἐπιδεχόμεναι, ἔμφυτοι πάντως εἰσὶ τῷ γένει ὅλῳ, οἷα δὴ ϗ αἱ οὕτω τοῖς σώμασιν ἐνοῦσαι ποιότητες (1). Τοιαῦται δὲ αἱ ἐπὶ τ᾽ ἀγαθὸν ϗ τ᾽ ἀληθὲς ἐν γένει κλίσεις. Καὶ ἡ μὲν ἐπὶ τὸ Α΄. κοινὴ ϗ τοῖς κτήνεσιν, ὥςε προσήκειν τῇ ζωτικῇ φύσει ἀναμφιλέκτως. Ἡ δὲ ἐπὶ τὸ Β΄. οὕτως

(1) Νευτώνειος ὁ νόμος ἐγκριθεὶς ἅπασι.

Ε.Υ.Δ. της Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

ἀνθρώποις ἐστὶ προσήκουσα, ὡς καὶ ἡ πολυπραγμοσύνη, ἥτις οὐδὲν ἄλλο ἐστὶν, εἰ μὴ ἡ διὰ τῆς ἐπὶ τ' ἀληθὲς κλίσεως φιλομάθεια. Ἐξ οὗ κἀκεῖνο ἐπιφέρεται, ὅτι τῆς ἀνθρώπου φύσεως μηχανικοὶ νόμοι αὗται αἱ κλίσεις εἰσί. Νόμος γὰρ φύσεως μηχανικὸς ἀκούει παρὰ τοῖς φιλοσοφοῦσιν, ἥ φησιν Οὔολφιος, οὗ ὁ ἀποχρῶν λόγος ἐν μόνῃ τῇ τοῦ Θεοῦ βουλήσει ἐστὶ κείμενος, οἷαι αἱ δυνάμεις τῆς τε ἐφελκύσεως, καὶ τῆς τῶν πλανητῶν βαρύνσεως, καὶ ἄλλαι ἐν ἄλλοις. Ἀλλ' ἔμφυτοι μὲν εἰσὶν ἐκεῖναι αἱ κλίσεις τῇ φύσει τῇ ἀνθρωπίνῃ, τῶν δὲ κατὰ φύσιν Θεὸς αἰτία. Ἄρα ἀντὶ μηχανικῶν νόμων τῆς ἀνθρώπου φύσεως δέον ἐκείνας ἡγεῖσθαι. Οἳ δὲ φασί τινες ἐκ τῆς χρήσεως τῶν πραγμάτων τὰς τοιαύτας κλίσεις προσαναφύεσθαι, οὐκ ἐννοοῦντες φασὶν, ὅτι ἐκείνων ἄνευ οὐδὲ χρῆσις ἂν εἴη, ἡγοῦνται δὲ ἐκεῖναι οἱασοῦν χρήσεως. Καὶ τοῦτο δὲ τῇ προνοίᾳ ἀναθετέον, τῇ μὴ μόνῳ τῷ λόγῳ καὶ τῇ ἐλευθερίᾳ ἐπὶ τὸ προσφυὲς τέλος καὶ τὰ πρόσφορα εἰς τοῦτο μέσα ἀγούσῃ τὸν ἄνθρωπον, ἀλλὰ καὶ τῇ παρὰ τῆς φύσεως αὐτοῦ δυνάμει ἐπωθούσῃ, ἵνα εἰ καὶ τῷ λογιστικῷ καὶ τῇ ἐλευθερίᾳ ἡ ψυχὴ ἀντερείσειε, τῇ δυνάμει γοῦν τῶν ἐμφύτων νόμων πειθαρχεῖν ἀναγκάζοιτο. Διὸ καὶ ἦθος κόσμιον ἀτακτῆσαν μεθαρμόζεσθαι αὖθις ὁρᾶται καὶ ἀνακοσμεῖσθαι, τῆς ἱερᾶς φύσεως, ὡς ἐπὶ τοῦ ἐλατηρίου συμβαίνει, μετὰ τὴν ἀπὸ τῆς ἀκολασίας καὶ τῆς τοῦ λόγου καταχρήσεως, ἃ μέχρι τινὸς ἐκόλουσε καὶ ἐπίεσεν, ἀποκαθισταμένης. Σὺν οἷς καὶ τοῦτο μαθεῖν ἐστι, τί δή ποτε τῶν κατὰ μέρος κλίσεών τε καὶ ἀποκλίσεων ἄλλων ἐν ἄλλοις ἐπικρατουσῶν, καὶ κατὰ ἡλικίας, καὶ ὥρας, καὶ χώρας διαφερουσῶν, αἱ ἔμφυτοι ἐκεῖναι ἄτρεπτοι ἐς ἀεὶ παραμένουσιν, ἀμέλειτοι τῶν κατὰ φύσιν ἀναγκαίων τε ὄντων καὶ ἀμεταβλήτων. Ὁ μὲν οὖν Ἀριστοτέλης ἐπὶ τῶν ἠθικῶν ἀπὸ τῆς πρὸς τὸ ἀγαθὸν ῥοπῆς, ἐπὶ δὲ τῶν μεταφυσικῶν ἀπὸ τῆς ἐπὶ τὸ ἀληθὲς σοφῶς πάνυ δεῖν ἔγνω προοιμιάσασθαι.

## Πρότ. ΜΕ'.

„Ἡ πρὸς τὴν ἑαυτῶν συντήρησιν καὶ φυλακὴν ῥοπὴ νόμος τις καὶ αὐτὴ ἐν „ἡμῖν ἐστιν ἀπὸ φύσεως· ἡ δὲ ἐπὶ τὰ ἀφροδίσια ὁρμὴ οὐδαμῶς.

## Δεῖξις.

Α'. Ἔστι γὰρ καὶ ἐν ἅπασι, καὶ ἐν οἱαδήποτε ἡλικίᾳ, καὶ ἀεὶ ἀτρέπτως ἔχουσα. Εἰ μὴ γὰρ φύσει καὶ ἀναγκαίως εἰς ἀγάπην τὴν ἑαυτοῦ ἐφέρετο ἄνθρωπος, ἐπεὶ μυριαχῶς ἐστι τοῦ ζῆν ἐκπεσεῖν, ἐκ πολλοῦ ἂν γένος ἀνθρώπων ᾤχετο.

Β'. Ἡ ἐπὶ τὰ ἀφροδίσια ὁρμὴ οὐδὲ πᾶσιν ἀνθρώποις ἐξίσου ἔνεστιν, οὐδὲ πάσῃ ἡλικίᾳ, ὑφίσταταί τε ἐπίτασιν καὶ ὕφεσιν, κόρον τε πέφυκεν ἐμποιεῖν. Τὰ δὲ τοῖς κατὰ φύσιν νόμοις οὐκ ἔστι παραστυμβαίνοντα, ὡς ἐκ τῶν ἀνωτέρω δῆλον ἔσται. Ἄρα κτ.

## Πρότ. Μϛ'.

„Πᾶσα ἕξις ἀσκήσει ἐγγίνεται ϗ ἐπιτείνεται, ἀπραξίᾳ δ' ὑφίεται καὶ „τέλεον ἐξαφανίζεται. Πάσχουσι δὲ τὰ δεύτερα αἱ ἕξεις ϗ ἀντιβάσει τῶν ἀν„τιθέτων ἕξεων.

Φανερὸν τὸ λεγόμενον ἐπί τε τῶν θεωρητικῶν ἕξεων ϗ τῶν ἠθικῶν, ἔτι τε μὴν ϗ τῶν ὑφισταμένων ταῖς σωματικαῖς δυνάμεσι σωματικῶν. Καὶ γὰρ ϗ πείραις διηνεκέσι μαρτυρεῖται, ϗ οὐδεμία ἕξις ἂν προτεθείη, ἣ μὴ τοῦτο συμβαίνοι.

## Πρότ. ΜΖ'.

„Ἕξις οὐδεμία τυγχάνει τῇ ψυχῇ ἔμφυτος.

### Δεῖξις.

Καὶ γὰρ αἱ ἕξεις πᾶσαι ἐπίτασίν τε ϗ ὕφεσιν ἐπιδέχονται, ϗ ἀσκήσει ἐγγίνονται, ϗ ἀπραξίᾳ ἐκτρίβονται (Πρ. Μϛ'.). Τὰ δὲ τοιαῦτα οὐκ ἔστιν ἔμφυτα. Πάνυ καλῶς περὶ τούτων Ἀριστοτέλην ἐν ἀρχῇ τῶν Νικομαχείων ἠθικῶν πραγματευόμενον μέτιθι.

## Πρότ. ΜΗ'.

„Αἱ ἕξεις ἅπασαι εἰσὶ τοῦ συναμφοτέρου.

### Δεῖξις.

Εἰσὶ γὰρ ἀσκήσει ἐγγινόμεναι (Πρ. Μϛ'.), ϗ ἐνυπάρχουσιν ἄρα τοῖς ὑποκειμένοις, ὧν ταῖς ἐνεργείαις τελεῖται ἡ ἄσκησις. Αὗται δὲ ἐνέργειαι ϗ ψυχῆς εἰσὶ ϗ σώματος· οὐδὲ γὰρ ἂν εἴη ψυχῆς ἐνέργεια ὅλως, ἣ μὴ ἀντιστοιχείη ϗ ἐνέργεια σώματος. Ἄρα κτ.

### Σχόλιον.

Τούτου δὴ χάριν ϗ τὰς τῆς ψυχῆς καλουμένας ἕξεις ἐξατονεῖν πολλάκις συμβαίνει ϗ ὄλλυσθαι διὰ νόσου ἐπισκήψασαν ϗ ἡλικίαν προκόψασαν· καὶ τὰς σωματικὰς ἀνάπαλιν ἀσθενεῖν ϗ ὑποχαλᾶσθαι, τῆς ψυχῆς περισπωμένης, ϗ ἐπὶ ἄλλοις τισὶ προσεχούσης. Εἰσὶ γε μὴν αἷς ἐπικρατεῖ ψυχή, αἷς δὲ τὸ σῶμα τὸ πλέον ἔχει. Οἷον αἱ μὲν τῶν θεωρητικῶν ἐπιστημῶν ἕξεις μᾶλλον

τῇ διανοίᾳ βεβήκασιν, αἱ δὲ τῶν μηχανικῶν τεχνῶν μᾶλλον τῷ σώματι, αἱ δὲ τῶν ἠθικῶν ἀρετῶν μᾶλλον τῇ θελήσει, ὀυχ ὅτι τοσαῦτα διακριτέον ἕξεών ὑποκείμενα, ὃ τὲς Σχολαςικὲς ἐξηπάτησεν, ἀλλ' ὅτι αὕτη φέρ᾽ εἰπεῖν ἡ δύναμις ἔχει τὴν ἐπικράτειαν.

## Πρότ. ΜΘ΄.

„ Αἱ μείζονι ψυχῆς προσοχῇ, ἢ σφοδροτέρῳ τινὶ παθήματι, ἢ ἡδονῇ ϗ „ ἄλγει ἐπιτελέμεναι ἐνέργειαι, βαθύτερον ἐνίενται τῇ ψυχῇ ϗ μονιμώτερον.

Καὶ λόγῳ δῆλον ϗ πείρᾳ. Καίγε αἱ διὰ τῶν τηλικέτων ἐνεργειῶν προσποριζόμεναι ἕξεις ῥᾴδιόν τε ἐγκαθίςανται τῇ ψυχῇ ϗ ἑδραιότερον.

## Πρότ. Ν΄.

„ Αἱ ἐν ἀνθρώπῳ ἕξεις πληθυνόμεναι καθίςανται ἀσθενέςεραι.

Ἔςιν οὖν ϗ τῦτο τῇ πείρᾳ προσμαρτυρέμενον. Λόγος δέ ἐςι τῦ τοιῦτε τὸ πεπερασμένον τῶν ἐν τῇ φύσει τῦ ἀνθρώπε δυνάμεων. Ἀσκήσει γὰρ ϗ μελέτῃ ἕξιν ἅπασαν ποριζόμεθάτε ϗ ἐπιῤῥωνύομεν. Ἡ δὲ μελέτη πυκναῖς ϗ ἐμμελέσι συνίςαται πράξεσι ταῖς περὶ τὸ αὐτὸ γινομέναις. Πληθυνομένων οὖν τῶν ἕξεων, διασκίδναται τὸ πρακτικὸν τῆς ψυχῆς ϗ ἀσκητικὸν ἐν πολλοῖς ἐπιμεριζόμενον, καὶ σπανιωτέρων οὐσῶν τῶν ἐνεργειῶν ἐπὶ ἑνὸς ἑκάςε, ἀσθενεῖς αἱ ἕξεις καθίςανται. Διὸ ϗ τοῖς διενεγκεῖν περί τι δὶ ἐφέσεως ἔχεσι μὴ πρὸς ἄλλας ἀσχολίας τὴν ψυχὴν κατακερματίζεσθαι παραινῦσιν, ὡς ἡ φύσις πεπερασμένη ὖσα, πλείοσιν ὀυκ ἂν ἐπαρκέσειε, μὴ χείρων ἑαυτῆς παρὰ τὰ πολλὰ ἀναφαινομένη.

## Πόρισμα.

Δὶ αὐτὸ δὲ τῦτο ϗ ὑπὸ τῶν ἀντικειμένων αἱ οὗται ἕξεις ἐκλύονται, ϗ ὑποχαλῶνται, καὶ κατὰ βραχὺ ὄλλυνται.

## Πρότ. ΝΑ΄.

Ἡ μνήμη ἐςὶν ἕξις.

## Δεῖξις.

Προσήκει γὰρ αὐτῇ τὰ τῶν ἕξεων ἴδια. Α΄. ἔμφυτος ὀυκ ἔςι. Β΄. ἀσκήσει ἐπιδίδωσι. Γ΄. προσοχῆς ἐπιτάσει, καὶ ὑπὸ ἡδονῆς, ἢ ἄλγες, ἢ ἄλλου παθήματος σφοδροτέρε ῥᾷδιον ἐμποιεῖται καὶ μονιμώτερον. Δ΄. ἀπραξίᾳ ὑποχαλᾶται καὶ ὄλλυται. Ε΄. πραγμάτων πλήθει καὶ ποικιλίᾳ πιεζομένη ἐξατονεῖ καὶ ἀμβλύνεται. ϛ΄. καὶ ὅσοις δὲ αἱ ἐν ἀνθρώπῳ δυνάμεις ῥώννυνται ἢ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

ὑπεκλύονται, τοῖς αὐτοῖς καὶ ἡ μνήμη κρατύνεσθαι ἢ ἀσθενεῖν πέφυκεν, οἷον ἀέρι, σιτίοις, φαρμάκῳ, γήρατι, νόσοις, κτ. Ζ'. ἧττον δ' ἐκπεπονηκυῖα, καὶ μετὰ σχολὴν, μείζων ἀναφαίνεται καὶ ἐπικρατεστέρα. Η'. κινουμένη περιθάλπεται, καὶ μᾶλλον ἔγκαρπος γίγνεται. Ταῦτα γοῦν πάντα, ἃ τῶν ἕξεων ἐστὶν ἴδια, τῇ μνήμῃ προσήκοντα, ἕξιν εἶναι καὶ αὐτὴν ἀποφαίνει τινὰ ὁμολογουμένως (1).

## Σχόλιον.

Εἰσὶν οἱ τὴν μνήμην ἡγήσαντο τῶν ἰδεῶν οἱονεί τι ταμεῖον καὶ ἀποθήκην, τὰς δὲ ἰδέας ἴχνη τινὰ τυγχάνειν τὰ παρὰ τῶν ἐκτὸς ἐγκεκολαμμένα τῷ ἐγκεφάλῳ, συνήγορον τῆς δόξης προβαλόμενοι Καρτέσιον. Ἀλλὰ γὰρ τὰ ἴχνη ταῦτα πῶς ἂν γένοιτο παραστατικὰ τῶν ἔξω οὐ ῥᾴδιον ἐννοῆται. Εἶτα καὶ τούτου δοθέντος, πῶς τοσαῦται μυριάδες ἐνσφραγισμάτων ἐν οὕτω βραχεῖ χωρίῳ, οἷος ἐγκέφαλος, ἀσύγχυτοι περισώζονται; Ὁ δὲ Καρτέσιος, εἰ χρὴ τἀληθὲς εἰπεῖν, καίτοι τῷ ὀνόματι τῶν ἰχνῶν προσχρησάμενος, οὐδὲν ἀλλ' οὖν ἕτερον νοεῖν ἀντὶ ἰχνῶν ἔοικεν, εἰ μὴ τὴν περιοῦσαν τῷ ἐγκεφάλῳ ἕξιν, τὴν διὰ πλειόνων ἐνεργειῶν ἐμποιουμένην. „Ταῦτα γὰρ τὰ ἴχνη (φησὶν) οὐδὲν ἄλλο „ἐστὶν, ἢ ὅτι οἱ τοῦ ἐγκεφάλου πόροι, δι' ὧν τὰ πνεύματα πρότερον διιέναι ἤρ„ξατο, προσανεκτήσαντο κατ' αὐτὸ μείζονα εὐκολίαν πρὸ τῶν ἄλλων τοῦ „αὖθις τὸν αὐτὸν τρόπον τοῖς προσαντῶσιν ἀναπετάννυσθαι πνεύμασι (2).“ Καὶ οὕτως οὖν ἐκεῖνος τὴν ἀνάμνησιν ἀναπτύσσει. Παραπλησίως δὲ καὶ Μαλεβράγχιος τὴν μνήμην ἐτάξατο ἐν ἕξει τινὶ περιούσῃ τῷ ἐγκεφάλῳ, οὗ τὰ στημονίδια εὔκαμπτη κατέστη παρὰ τὰς ἐπανειλημμένας ἐνεργείας καὶ εὐκίνητα (3). Οὕτω δὲ πάντως τὴν μνήμην πεφυκέναι παρίστησι καὶ τὰ φαινόμενα. Καὶ γὰρ ὥσπερ ἐπὶ τῶν ἄλλων ἕξεων, τοῖς προτέροις ἐνεργήμασι τεθεῖσιν, οἱονεὶ αὐτόματα τὰ λοιπὰ ἐφέπεται, ὃ ῥᾴδιον συνιδεῖν ἐπὶ τῆς ὀρχηστικῆς, καὶ μουσικῆς, καὶ κιθαριστικῆς, καὶ τῶν παραπλησίων, οὕτω καὶ ἐπὶ τῆς μνήμης, τῇ παρεστώσῃ ἰδέᾳ, ἃς σὺν ἐκείνῃ συνάπτειν εἰθίσμεθα, ἐφεξῆς αἱ ἄλλαι ἐφέπονται μᾶλλον ἢ ἧττον εὐπετῶς, κατὰ τὸ διάφορον τῆς ἐπιτάσεως ἢ ὑφέσεως τῶν προσγενομένων τῇ ἕξει.

## Πρότ. ΝΒ'.

„Πᾶσα ἕξις μνήμη τε καὶ ἀναμνήσει συνίσταται.

(1) Ὅρα Λώκιον περὶ διαν. ἀνθρ. βιβλ. Β'. Κεφ. Ι'.

(2) Περὶ παθ. ψυχ. μέρ. Α'. ἀρθ. ΜΒ'.

(3) Βιβλ. Β'. περὶ ἐξετ. ἀληθ. Κεφ. Ε'. §. γ'.

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΔΙΕΥΘΥΝΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

### Δεῖξις.

Πᾶσα ἕξις εὐκολία τις ἐςὶ, καθ' ἣν εὐρύθμως ϗ μετὰ λόγȣ τάξις ἐνεργειῶν ἀλλήλας διαδεχομένων περαίνεται. Ἔςι δὲ τȣ̃ συναμφοτέρȣ (Πρ. ΜΗ΄.). Συνῆπται ἄρα τοῖς σωματικοῖς κινήμασι τὰ νοήματα τῆς ψυχῆς ἐπὶ τῶν ἕξεων, τȣτέςιν ἀντιλήψεις τε ϗ θελήσεις, ὧν ἀμύθητον ὅσον τὸ τάχος· τȣ̃το δὲ μνήμη. Πᾶσα ἄρα ἕξις μνήμῃ συνίςαται. Ἐξ ȣ̃ ἕπεται τὸν καθ' ἕξιν τινὰ σωματικὴν ἐνεργεῖν ἐπιχειρήσαντα, περισπωμένης ἐπί τινα τῆς ψυχῆς, ἐξίςαθαι τῶν κατὰ τὴν τέχνην κινημάτων, τῶν ἐνεργειῶν αὐτῷ συνεκταρατ-τομένων.

### Πρότ. ΝΓ΄.

„Ἡ συλλογιςικὴ δεξιότης ἕξις οὖσα τυγχάνει, ποικίλλεται δὲ ᾗ περ „εἰς ποικίλα ἐναςχολεῖται ὑποκείμενα, καίτοι ἡ τȣ̃ συλλογίζεσθαι δύναμις „ἐςὶν ἔμφυτος.“ Ἡ γὰρ δεξιότης ἐκείνη ἀσκήσει τε ϗ μελέτῃ πόριμος γίγνεται, ἀπραξίᾳ δ' ἀπόλλυται. Ἴδια δὲ αὐτῆς ἐςὶ καὶ τ' ἄλλα, ἃ προσήκει ταῖς ἕξεσι.

### Πρότ. ΝΔ΄.

„Ἅπασα ἡ τῶν ἀνθρώπων μάθησις δυσὶ συνίςαται κατὰ γένος ἕξεσιν, „αἵτινες τῇ πρὸς τὰ ὑποκείμενα ἀναφορᾷ διαφόρως ποικίλλονται.

### Δεῖξις.

Πᾶσα γὰρ ἐπιςήμη καὶ πᾶσα μάθησις ἐν πλήθει ἰδεῶν τινων ἑτοίμως παρȣσῶν τῇ διανοίᾳ κεῖται, τȣ̃το δὲ μνήμη· καὶ ἐν τῇ περὶ ταύτας τὰς ἰδέας τȣ̃ συλλογίζεσθαι δεξιότητι, καθ' ἣν αὗται συνεξυφαίνονται, συνορωμένων ἐν αὐταῖς τῶν τε ἡγȣμένων ϗ τῶν ἑπομένων, ϗ τῶν συζύγων ϗ συνημμένων. Ἀλλαμὴν ϗ ἡ μνήμη ἕξις ἐςὶ (Πρ. ΝΑ΄.), ϗ ἡ περὶ τὸ συλλογίζεσθαι δεξιότης ὡσαύτως (Πρ. ΝΓ΄.). Ἄρα κτ.

## ΚΕΦΑΛ. ϛ΄.

## Περὶ αἰτίων φυσικῶν ἡδονῆς ϗ ἄλγȣς, ἔτι δὲ ϗ περὶ παθῶν.

### Πρότ. ΝΕ΄.

„Ἡδονῆς παντοίας ϗ ἄλγȣς αἴτια φυσικὰ εἰσὶν αἱ ἐμποιȣ̃μεναι κινή-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠΙΣΤ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΘΕΤΣΗΣ
Γ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006